**SS 2024 Griech. Lektüre-Übung: Menander, *Dyskolos* TEXT 12 (Karanasiou)**

https://www.greek-language.gr/digitalResources/ancient_greek/library/browse.html?text_id=137&page=22

V. 681-701

μικροῦ γε νὴ Δί᾽ αὐτὸν εἰσαπολώλεκα·
τὸ σχοινίον γὰρ ἐμβλέπων τῇ παρθένῳ
ἀφῆκ᾽ ἴσως τρίς. ἀλλ᾽ ὁ Γοργίας Ἄτλας
ἦν οὐχ ὁ τυχών· ἀντεῖχε καὶ μόλις ποτὲ
ἀνενήνοχ᾽ αὐτόν. ὡς ἐκεῖνος ἐξέβη
δεῦρ᾽ ἐξελήλυθ᾽· οὐ γὰρ ἐδυνάμην ἔτι
κατέχειν ἐμαυτόν, ἀλλὰ μικροῦ [τὴν κόρην
ἐφίλουν προσιών· οὕτω σφόδρ᾽ ε[
ἐρῶ. παρασκευάζομαι δή — τὴν θύραν
ψοφοῦσιν. ὦ Ζεῦ Σῶτερ, ἐκτόπου θέας.

**ΓΟ.** βούλει τι, Κνήμων; εἰπέ μοι. **(ΚΝ.)** τί [
φαύλως ἔχω. **(ΓΟ.)** θάρρει. **(ΚΝ.)** τεθάρ[ρηκ᾽. οὐκέτι
ὑμῖν ἐνοχλήσει τὸν ἐπίλοιπον γὰ̣[ρ χρόνον
Κνήμων. **(ΓΟ.)** τοιοῦτόν ἐστ᾽ ἐρημία κακόν,
ὁρᾳ̃ς; ἀκαρὴς νῦν παραπόλωλας ἀρτίως.
τηρούμενον δὴ τηλικοῦτον τῷ βίῳ
ἤδη καταζῆν δεῖ. **(ΚΝ.)** χαλεπῶς μὲν οἶδ᾽ ὅτι
ἔχω, κάλεσον δέ, Γοργία, τὴν μητέρα.
**‹ΓΟ.›** ὡς ἔνι μάλιστα. τὰ κακὰ παιδεύειν μόνα
ἐπίσταθ᾽ ἡμᾶς ὡς ἔοικε. **‹ΚΝ.›** θυγάτριον,
βούλει μ᾽ ἀναστῆσαι λαβοῦσα; **ΣΩ.** μακάριε